# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: iru-ai

*Ἀράτου Βίοι* · Aratus Lives

# Astronomical Appendix

*Ἀστρονομικά*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Βίος* Biography
**Format:** *Πεζός* Prose

1 CODICIS SCORIALENSIS Σ III 3 APPENDIX μετάβασις ἡλίου ἀπὸ ζῳδίου εἰς ἕτερον ζῴδιον Ἰαννουαρίου ιθʹ, ἐπὶ ηʹ ὥρᾳ τῆς νυκτός, Ὑδροχόος. Φευρουαρίου ιθʹ, ἐπὶ κʹ ὥρᾳ τῆς νυκτός, Ἰχθύες.

1 Μαρτίου καʹ, ἐπὶ κβʹ ὥρᾳ τῆς ἡμέρας, Κριός. Ἀπριλλίου κβʹ, ἐπὶ κγʹ ὥρᾳ τῆς νυκτός, Ταῦρος. Μαίου κγʹ, ἐπὶ ὥρᾳ δʹ, Δίδυμοι. Ἰουνίου κδʹ, ἐπὶ ὥρᾳ ιʹ, Καρκῖνος. Ἰουλίου κεʹ, ἐπὶ ὥρᾳ εʹ, Λέων.

1 Αὐγούστου κεʹ, ἐπὶ ὥρᾳ τετάρτη, Παρθένος. Σεπτεβρίου κεʹ, ἐπὶ ὥρᾳ ηʹ, Ζυγός. Ὀκτωβρίῳ ἐπὶ ὥρᾳ ἀρχομένης ἡμέρας, Σκορπίος. Νοεμβρίῳ κβʹ, ἐπὶ ὥρᾳ ζʹ ἡμέρας, Τοξότης. Δεκεμβρίου καʹ, ἐπὶ κβʹ ὥραις τῆς νυκτός, Αἰγόκερως.

2 Ἐμπεδοκλέους σφαῖρα διὰ στίχων.

3 τοῦ Ἰώβ (12, 12)· ἐν πολλῷ χρόνῳ σοφία, ἐν πολλῷ δὲ βίῳ ἐπιστήμη.

4 τὰ γένη ἢ πρὸ τῶν πολλῶν, οἷον οἱ δημιουργικοὶ καὶ σπερματικοὶ τῶν ὄντων λόγοι, ἤγουν οἱ προορισμοὶ καὶ αἱ προγνώσεις τοῦ θεοῦ τῶν ὄντων. περὶ ταῦτα τὰ πρὸ τῶν πολλῶν γένη καὶ εἴδη καταγίνεται ὁ θεολόγος φιλόσοφος. ἢ ἐν τοῖς πολλοῖς, οἷον τὰ αἰσθητὰ πάντα, ἤγουν τὰ κατατεταγμένα γένη καὶ εἴδη (τὰ γὰρ πρὸ τῶν πολλῶν ἄτακτά φασι). περὶ ταῦτα τὰ ἐν τοῖς πολλοῖς γένη καὶ εἴδη, ἤγουν τὰ αἰσθητὰ πάντα, καταγίνεται ὁ φυσιολόγος φιλόσοφος. ἢ ἐπὶ τοῖς πολλοῖς, οἷον τὰ ἐξ ἀφαιρέσεως πάντα ὡς τὰ μαθηματικά, τὰ ἐν τῇ μνήμῃ καὶ διανοίᾳ ἡμῶν ἐκ τῶν ἐπὶ τοῖς πολλοῖς ἀνατυπουμένων καλῶς γενῶν καὶ εἰδῶν. περὶ ταῦτα καταγίνεται ὁ διαλεκτικὸς φι λόσοφος.